M V M

1 6 1 4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0001-0

~~Ro~~ Hs Contenta huius Tomi ~~Sammelbd~~

1. Johannis Casae Carmina &c.

2. Panegyricus Eidibus 8bris solenni introductione Acad. Juliae die, quo gnatali p. Hen. Julij Theod. Adam.

3. J. Caselij ad H. Arnisaeum Epta. 1610.

4. Gratulationes variorum factae de gradu D.

5. Gratulationes ad C. Odenum, de nuptijs filiae

6. J. Caselij Jasmidion, Mummij nuptijs

7. Elogium Bartoli Michaelij, secreti nuptijs

8. J. Caselij ad Eobald. Brummers consolatio super coniugis obitu

9. J. Caselij Epta ad J. Magnum, in qua agitur 1. de modestia. 2. de studio dicendi 3. de lectione historiae

10. Epta Caselij ad Philippum ... Ducem Pomeraniae

11. Eiusdem Epta ad C.V. Jos. Leccium, de literarum studiis, quo fine, quo ordine, et modo colat ingeniosus adolescens, primarius in rep. civis filius

12. Oratio Christ. Heidmanni de vero ac primo bono quod parare sibi in civili hac societate homo pt.

13. Oratio funeb. scripta Aurea Stylo, Caselij

14. Πισὰς ἐγκλεοπαισῶν Vita Valentini Casp. S. Myli J. Caselij

15. Programma in funere cl. Parcodij

16. Caselij oratiuncula in promotione Magistrandorum Ao. 1611.

17. Jos. C. Epta ad Theodorum Bebr.

18. J. C. gratulatio de dignitate et honore Icti ad Ericum clacu.

19. Epta duae J. Cas. in quibus nonnulla cognoscenda
de { 1. Magistratus lenitate et severitate.
2. Severitate et urbanitate
3. academicis duobus primarijs ornamentis { modestia / concordia }

# MEMORIA D. IOANNIS CASELII ΤΟΥ ΠΑΝΥ.

Martino Baremio autore.

σήμερον μοι:



αὔριον σοι.

τοῖς διδασκάλοις ὡς πάντων τῶν εὐεργετῶν πρώτοις οὐδεμία τιμὴ ἰσόῤῥοπος.

GOSLARIÆ
ex Typographia Joannis Vogdii,
M. DC. XIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0003-1

# ΚΑΣΗΛΙΟΣ
## ΜΑΚΑΡ
### *MARTINI BAREMII.*

ΡΕΚΚΙΕ, τί πρήσσω, φέρτιστε; Κασήλιος ἀμὸς
Κάτθανε. Φεῦ καινῆς κακίης! αἲ ἀνελπίστοιο
ἀγγελίης! οὐ γὰρ τοίην ὡς κραιπνὰ μολήσειν
ᾠόμεθ', ἐκ νούσου χαλεποῖς ἐπεὶ αὖθις ἀνέστη.
ἤθας εἴην αὕτη κακότης ὡς ἦλθ' ἀπιοῦσα.
καὶ δὴ ἐγὼ νῦν καινὰ γενέθλια πατρὶ γεραιῷ
ἐκμελέτων: ἄσσον γὰρ καὶ τάδε. λεῦσσ' ὄναρ ἡδύ,
λεῦσσε κενόν. προὔφθη γὰρ μοῖρ' ὀλοὴ καὶ ἐτεῦξε
δάκρυα θέρμ' ἡμῖν καὶ μυρίον ἄλγος ἔστηκει.
τίς γὰρ μὴ τόσσον σοφίης ἴνδαλμα παλαιῆς,
οἷον δὴ ἐπίλοιπον ἐόν, στοναχεῦσι ὀλέσθαι;
αὐτὴ Αὐσονίη, αὐτὴ καὶ Κελτίς, ἰδ' αὐτὴ
ἡ Σπανίη, εἴσω τὰ ὑπέρτερα λοιπά, καὶ αὐτοὶ
Ἀντίποδες Γερμανῶν ἐπαιάζουσιν ὀδυρμῷ.
Τίς μερόπων ἀγνοιεῖ, οἷος φλυαροῖσι Σοφισταῖς
ἦσι Βαρβαρίης ἀνόοις καὶ ἀναιδέσ' ἔγεντο
Ἡρακλῆς, ἧς σὺν μητρὶ μάλ' εὖ ἀπαλάλκων,
εἰδὼς οὐλομένων κεφαλέων Ὕδρης ἀλεγεινῆς.
Τίς ταὐτὸν ῥέξει ἐς ἐπερχόμεν' ἤματα; τίς μὴ
ὀφθαλμοῖσιν ὁρᾷ Ὕδρην ὑπὸ γήθεος ἄκρου
μαινομένην, ἐξ οὗ πότμον τόνδ' εἰσενόησε;
τίς μὴ καὶ παῖδας μωρὸν κάρη ὕψου ἔχοντας
καὶ μάλα γαυριόωντας ἅτ' ἐν νημερτέϊ νίκῃ;
ἦ δὴ τοῦτο Σοφὸς τὸ πάλαι φάτο, καὶ περίπαν ἦμαρ
δείκνυσ', ὡς ὅτε τοιούτων χηρεύμεθα φωτῶν
οὐ μακρὰν τελέθει κακὸν ἀτρεκές, οὐδέ νυ καὶ νῦν
δηρὸν ἀπεσσεῖται, δέδι', εἰ μὴ Ὀλύμπιος εἴρξει.
χρεὼ μεγάλη συχνῶς εἰς αἰθέρα χεῖρας ἀνασχεῖν,
ἤπιον ὄφρα θεὸν καὶ εὐμενῆ αἰὲν ἔχωμεν,
συχνάκι ῥεχθεισῶν ἀμνήμον' ἀτασθαλιάων.

ἤλιθες

ἤλιτες αἶα φίλη πάτρη, τρὶς πότνια μῆτερ
ἤλιτες. οὐ γὰρ ἔγνωσας ἅ σοι δωρήματ' ὄπασσεν
ὑψιμέδων ὁ πατὴρ πέμψας ἀπ' ὀλύμπου αἴγλην
ἱρὸν ἐὸν, Σοφίης καινὸν καὶ κοινὸν ἀνάπλειν
εἰλικρινοῦς φέγγος, τυφλοῖς τὸ πρὶν ἀνδαβάτῃσιν
ἐν ζόφῳ ἱζομένοις, τοιοίδ' ἵνα μηκέτ' ἔωμεν.
ἀλλά τίς ἐν φρεσὶν ᾗσι τάδ' ἔνθετο; τίς γ' ἐνόησεν,
ὡς θέμις; οὐδεὶς πάμπαν: ἔρως γὰρ καὶ τοῦ ἀληθοῦς
οὐδεὶς πάμπαν. καὶ τί; ὅτι ἤρξαθ' ὁ δεῖνα ἰδεῖν τι
ἀμφαδίην, ἀτὰρ ἀφραδέως ὅσ' ἔτραπ' ὀπίσσω,
ἀγνοίης ἐθέλων παῖς ἔμμεναι ἠὲ δαῆναι.
λῆροι γὰρ μᾶλλον κατὰ θύμιοι, οὕνεκεν οἵδε
εἰ κατὰ κόσμον ἔχουσι τί θαυμαστόν; τί ἀγητόν;
δηθὰ Σοφὸς ταρσεὺς φάτο καὶ τόδε μάντισι δέλτοις,
σφῆλεν δ' οὔποτε τοὺς ἀπιθήσαντας μανιωδῶς.
μάρτυς ἅπας κόσμος καὶ πάντα τὰ ἤθεα γαίης,
εἰς ὃ τὸ φέγγος ἀληθείης πολυήρατον ἵκεν.
οὐαὶ δ' ἀνθρώποις, οἳ μὴ λούσασους ἐθέλονται,
κῶσιν ἀκούοντεσσιν ἀναίνονται ἐπακοῦσαι.
ἀλλὰ τὰ μὲν πέμπωμεν ἑόνδε δόμονδε, καὶ ἀμὸν
τὸν νέκυν ἀθρῶμεν πάλιν ἢ μᾶλλον μακαρίτην
ἀτρεκῆ, ἱμερόεντα ΚΑΣΗΛΙΟΝ ἡγητῆρα
ἡμείων τε πολέων τ' ἄλλων κατ' ἀπείρονα γαῖαν,
ὁππόσσοι εἰμὲν, ἴσην χάριν οἱ δόμεν οὐ δυνάμεσθα.
μοῦνος ὁ ναιετάων τὰ ὀλύμπια δώματ' ὄπασσεν
ἄξια πάντ' ἀγαθὸς καὶ ὑπερμενοεικέα μισθόν.
οὐ γὰρ τόνδ' ἡ χθὼν κόλπῳ ἐνὶ εἷο κατεῖχεν
ὅσσος ἔην, καὶ ὅσα βάθη πραπίδεσσι βροτείαις.
ζωὸν κάρτ' ἐφίλησε καὶ ἀλγῶν ἔξελε πλείστων
κάρτα δὲ καὶ τίμησεν ἀολλέϊ κύδει ἀέξων.
θῆκε δὲ καὶ δολιχοχρόνιον πόλιόν τε γέροντα.
ὀγδώκοντα γὰρ ἤδη ἔτη ἐβίωσε, δέοντος
μοῦνον ἑνὸς, μᾶλλον δὲ τριηκονθημερόμηνος.
μουσῶν ἐσθλῶν τοῦτο γέρας θείῃσιν ἐφετμαῖς
ὡς παῦροι δέγε καὶ τούτων τετυχηκότες αὐτοῦ;
νῦν δὲ καὶ ἀΐδιος δέχεται καὶ ὀλύμπιος αἰὼν

νόσφιν ἄτερτε τέλους, τούτου κεκορεσμένον ἤδη,
καὶ μετ' ἀρητῆρος Σολύμου νύκτας τε καὶ ἦμαρ
τρίλλιστον εὐπότμοιο μόρου ποτιδέγμενον ὥρην.
ἤκουσ' εὐχομένοιο Ὀλύμπιος ἡδέι θυμῷ
καὶ λύσιν ἡδίστην πόρεν ὀτρηρῷ θεράποντι,
καὶ χρυσοκτητὴν κλισίην μετὰ πᾶσι μάκαρσιν,
οὗ νῦν ἕξει ἐστιὲν ἀληθινὰ χάρμαθ' ἃ οὐδεὶς
ὀφθαλμὸς ποτ' ὄπωπε, καὶ οὐδὲν ἐσήκοεν οὖας
οὐδὲ μυχοὺς φρενὸς ἀνδρομέης ὑπέδυ μία ῥανίς.

# ΩΣ ΝΙΚΗ ΟΛΗΣ
## ΑΝΙΔΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0007-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0008-9

AB 87-900

ULB Halle 3
002 717 867

Sb.

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0009-8

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-469861-p0010-9

45.

# EMORIA
# ANNIS CASELII

ΤΟΥ ΠΑΝΥ.

Martino Baremio autore.



αὖ ἐλόν
σοι.

...κάλοις ὡς πάντων τῶν εὐεργετῶν πρώτοις οὐδεμία
τιμὴ ἰσόρροπος.

GOSLARIÆ
...ypographia Joannis Vogdii,

M. DC. XIII.